# Ἰούδα

**1** Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν θεῷ πατρὶ
⸀ἠγαπημένοις[a] καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις[b] κλητοῖς·[c] 2 ἔλεος[a] ὑμῖν καὶ
εἰρήνη καὶ ἀγάπη πληθυνθείη.[b] 3 Ἀγαπητοί, πᾶσαν σπουδὴν[a] ποιούμενος[b]
γράφειν[c] ὑμῖν περὶ τῆς κοινῆς[d] ⸀ἡμῶν σωτηρίας ἀνάγκην[e] ἔσχον[f] γράψαι[g]
ὑμῖν παρακαλῶν[h] ἐπαγωνίζεσθαι[i] τῇ ἅπαξ[j] παραδοθείσῃ[k] τοῖς ἁγίοις πίστει.
4 παρεισέδυσαν[a] γάρ τινες ἄνθρωποι, οἱ πάλαι[b] προγεγραμμένοι[c] εἰς τοῦτο τὸ
κρίμα,[d] ἀσεβεῖς,[e] τὴν τοῦ θεοῦ ἡμῶν χάριτα μετατιθέντες[f] εἰς ἀσέλγειαν[g] καὶ
τὸν μόνον ⸀δεσπότην[h] καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.[i]
5 Ὑπομνῆσαι[a] δὲ ὑμᾶς βούλομαι,[b] εἰδότας[c] ⸂ὑμᾶς ἅπαξ⸃[d] ⸀πάντα, ὅτι
⸀Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου[e] σώσας[f] τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας[g]
ἀπώλεσεν,[h] 6 ἀγγέλους τε τοὺς μὴ τηρήσαντας[a] τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ
ἀπολιπόντας[b] τὸ ἴδιον οἰκητήριον[c] εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς[d] ἀϊδίοις[e]
ὑπὸ ζόφον[f] τετήρηκεν·[g] 7 ὡς Σόδομα[a] καὶ Γόμορρα[b] καὶ αἱ περὶ αὐτὰς πόλεις,
τὸν ὅμοιον ⸂τρόπον[c] τούτοις⸃ ἐκπορνεύσασαι[d] καὶ ἀπελθοῦσαι[e] ὀπίσω σαρκὸς
ἑτέρας, πρόκεινται[f] δεῖγμα[g] πυρὸς αἰωνίου δίκην[h] ὑπέχουσαι.[i] 8 Ὁμοίως

---

**Chapter 1**

1 a VPRPDMP
b VPRPDMP
c NDMP κλητός *called*
2 a NNNS ἔλεος *mercy*
b V3SAPO πληθύνω *to increase*
3 a NAFS σπουδή *hurry*
b VPPMNMS
c VNPA
d NGFS κοινός *common*
e NAFS ἀνάγκη *necessity*
f V1SAAI
g VNAA
h VPPANMS
i VNPM ἐπαγωνίζομαι *to contend*
j ἅπαξ *once*
k VPAPDFS
4 a V3PAAI παρεισδύω *to slip in secretly*
b πάλαι *long ago*
c VPRPNMP προγράφω *to write beforehand*
d NANS κρίμα *judgment*
e NNMP ἀσεβής *ungodly*
f VPPANMP μετατίθημι *to change*
g NAFS ἀσέλγεια *debauchery*
h NAMS δεσπότης *master*
i VPPMNMP
5 a VNAA ὑπομιμνήσκω *to remind*
b V1SPMI
c VPRAAMP
d ἅπαξ *once*
e NGFS Αἴγυπτος *Egypt*
f VPAANMS
g VPAAAMP
h V3SAAI
6 a VPAAAMP
b VPAAAMP ἀπολείπω *to leave behind*
c NANS οἰκητήριον *dwelling*
d NDMP δεσμός *chain*
e NDMP ἀΐδιος *eternal*
f NAMS ζόφος *blackness*
g V3SRAI
7 a NNNP Σόδομα *Sodom*
b NNFS Γόμορρα *Gomorrah*
c NAMS τρόπος *manner*
d VPAANFP ἐκπορνεύω *to engage in sexual immorality*
e VPAANFP
f V3PPMI πρόκειμαι *to be set before*
g NANS δεῖγμα *example*
h NAFS δίκη *punishment*
i VPPANFP ὑπέχω *to experience*

μέντοι[a] καὶ οὗτοι ἐνυπνιαζόμενοι[b] σάρκα μὲν μιαίνουσιν,[c] κυριότητα[d] δὲ
ἀθετοῦσιν,[e] δόξας δὲ βλασφημοῦσιν.[f] 9 ὁ δὲ Μιχαὴλ[a] ὁ ἀρχάγγελος,[b] ὅτε τῷ
διαβόλῳ διακρινόμενος[c] διελέγετο[d] περὶ τοῦ Μωϋσέως σώματος, οὐκ
ἐτόλμησεν[e] κρίσιν ἐπενεγκεῖν[f] βλασφημίας,[g] ἀλλὰ εἶπεν·[h] Ἐπιτιμήσαι[i] σοι
κύριος. 10 οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν[a] βλασφημοῦσιν,[b] ὅσα δὲ φυσικῶς[c] ὡς
τὰ ἄλογα[d] ζῷα[e] ἐπίστανται,[f] ἐν τούτοις φθείρονται.[g] 11 οὐαὶ αὐτοῖς, ὅτι τῇ
ὁδῷ τοῦ Κάϊν[a] ἐπορεύθησαν,[b] καὶ τῇ πλάνῃ[c] τοῦ Βαλαὰμ[d] μισθοῦ[e]
ἐξεχύθησαν,[f] καὶ τῇ ἀντιλογίᾳ[g] τοῦ Κόρε[h] ἀπώλοντο.[i] 12 οὗτοί εἰσιν[a] ⸀οἱ ἐν
ταῖς ἀγάπαις ὑμῶν σπιλάδες[b] συνευωχούμενοι,[c] ἀφόβως[d] ἑαυτοὺς
ποιμαίνοντες,[e] νεφέλαι[f] ἄνυδροι[g] ὑπὸ ἀνέμων παραφερόμεναι,[h] δένδρα[i]
φθινοπωρινὰ[j] ἄκαρπα[k] δὶς[l] ἀποθανόντα[m] ἐκριζωθέντα,[n] 13 κύματα[a] ἄγρια[b]
θαλάσσης ἐπαφρίζοντα[c] τὰς ἑαυτῶν αἰσχύνας,[d] ἀστέρες[e] πλανῆται[f] οἷς ὁ
ζόφος[g] τοῦ σκότους εἰς αἰῶνα τετήρηται.[h] 14 Προεφήτευσεν[a] δὲ καὶ τούτοις
ἕβδομος[b] ἀπὸ Ἀδὰμ[c] Ἑνὼχ[d] λέγων·[e] Ἰδοὺ ἦλθεν[f] κύριος ἐν ἁγίαις μυριάσιν[g]

---

8 a μέντοι *but*
b VPPMNMP ἐνυπνιάζομαι *to dreams*
c V3PPAI μιαίνω *to pollute*
d NAFS κυριότης *authority*
e V3PPAI ἀθετέω *to reject*
f V3PPAI
9 a NNMS Μιχαήλ *Michael*
b NNMS ἀρχάγγελος *archangel*
c VPPMNMS διακρίνω *to make a distinction*
d V3SIMI διαλέγομαι *to reason*
e V3SAAI τολμάω *to dare*
f VNAA ἐπιφέρω *to bring upon*
g NGFS βλασφημία *blasphemy*
h V3SAAI
i V3SAAO ἐπιτιμάω *to rebuke*
10 a V3PRAI
b V3PPAI
c φυσικῶς *naturally*
d NNNP ἄλογος *unreasonable*
e NNNP ζῷον *living creature*
f V3PPMI ἐπίσταμαι *to understand*
g V3PPPI φθείρω *to destroy*
11 a NGMS Κάϊν *Cain*
b V3PAPI
c NDFS πλάνη *error*
d NGMS Βαλαάμ *Balaam*
e NGMS μισθός *wage*
f V3PAPI ἐκχέω *to pour out*
g NDFS ἀντιλογία *argument*
h NGMS Κόρε *Korah*
i V3PAMI
12 a V3PPAI
b NNFP σπιλάς *blemish*
c VPPMNMP συνευωχέομαι *to partake in a feast together*
d ἀφόβως *fearlessly*
e VPPANMP ποιμαίνω *to shepherd*
f NNFP νεφέλη *cloud*
g NNFP ἄνυδρος *arid*
h VPPPNFP παραφέρω *to take away*
i NNNP δένδρον *tree*
j NNNP φθινοπωρινός *autumnal*
k NNNP ἄκαρπος *unfruitful*
l δίς *twice*
m VPAANNP
n VPAPNNP ἐκριζόω *to uproot*
13 a NNNP κῦμα *waves*
b NNNP ἄγριος *wild*
c VPPANNP ἐπαφρίζω *to foam up*
d NAFP αἰσχύνη *shamefulness*
e NNMP ἀστήρ *star*
f NNMP πλανήτης *wanderer*
g NNMS ζόφος *blackness*
h V3SRPI
14 a V3SAAI προφητεύω *to prophesy*
b NNMS ἕβδομος *seventh*
c NGMS Ἀδάμ *Adam*
d NNMS Ἑνώχ *Enoch*
e VPPANMS
f V3SAAI
g NDFP μυριάς *myriad*

αὐτοῦ, 15 ποιῆσαι[a] κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι[b] ⸂πάντας τοὺς ἀσεβεῖς⸃[c]
περὶ πάντων τῶν ἔργων ἀσεβείας[d] αὐτῶν ὧν ἠσέβησαν[e] καὶ περὶ πάντων τῶν
σκληρῶν[f] ὧν ἐλάλησαν[g] κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.[h] 16 οὗτοί εἰσιν[a]
γογγυσταί,[b] μεμψίμοιροι,[c] κατὰ τὰς ἐπιθυμίας ⸀αὐτῶν πορευόμενοι,[d] καὶ τὸ
στόμα αὐτῶν λαλεῖ[e] ὑπέρογκα,[f] θαυμάζοντες[g] πρόσωπα ὠφελείας[h] χάριν.[i]
17 Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε[a] τῶν ῥημάτων τῶν προειρημένων[b] ὑπὸ τῶν
ἀποστόλων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· 18 ὅτι ἔλεγον[a] ⸀ὑμῖν· ⸂Ἐπ'
ἐσχάτου χρόνου⸃ ἔσονται[b] ἐμπαῖκται[c] κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας
πορευόμενοι[d] τῶν ἀσεβειῶν.[e] 19 οὗτοί εἰσιν[a] οἱ ἀποδιορίζοντες,[b] ψυχικοί,[c]
πνεῦμα μὴ ἔχοντες.[d] 20 ὑμεῖς δέ, ἀγαπητοί, ⸂ἐποικοδομοῦντες[a] ἑαυτοὺς τῇ
ἁγιωτάτῃ ὑμῶν πίστει⸃, ἐν πνεύματι ἁγίῳ προσευχόμενοι,[b] 21 ἑαυτοὺς ἐν
ἀγάπῃ θεοῦ τηρήσατε[a] προσδεχόμενοι[b] τὸ ἔλεος[c] τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ εἰς ζωὴν αἰώνιον. 22 καὶ οὓς μὲν ⸀ἐλεᾶτε[a] ⸂διακρινομένους,[b] 23 οὓς δὲ
σῴζετε[a] ἐκ πυρὸς ἁρπάζοντες,[b] οὓς δὲ ἐλεᾶτε[c] ἐν φόβῳ⸃, μισοῦντες[d] καὶ τὸν
ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον[e] χιτῶνα.[f] 24 Τῷ δὲ δυναμένῳ[a] φυλάξαι[b] ⸀ὑμᾶς
ἀπταίστους[c] καὶ στῆσαι[d] κατενώπιον[e] τῆς δόξης αὐτοῦ ἀμώμους[f] ἐν
ἀγαλλιάσει[g] 25 ⸀μόνῳ θεῷ σωτῆρι[a] ἡμῶν ⸀διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου

---

15 a VNAA
b VNAA ἐλέγχω *to expose*
c NAMP ἀσεβής *ungodly*
d NGFS ἀσέβεια *ungodliness*
e V3PAAI ἀσεβέω *to do ungodly acts*
f NGNP σκληρός *hard*
g V3PAAI
h NNMP ἀσεβής *ungodly*
16 a V3PPAI
b NNMP γογγυστής *grumbler*
c NNMP μεμψίμοιρος *fault-finding*
d VPPMNMP
e V3SPAI
f NANP ὑπέρογκος *boastful*
g VPPANMP
h NGFS ὠφέλεια *value*
i χάριν *therefore*
17 a V2PAPM μιμνῄσκομαι *to remember*
b VPRPGNP προλέγω *to tell beforehand*
18 a V3PIAI
b V3PFMI
c NNMP ἐμπαίκτης *scoffer*
d VPPMNMP
e NGFP ἀσέβεια *ungodliness*
19 a V3PPAI
b VPPANMP ἀποδιορίζω *to divide*
c NNMP ψυχικός *physical*
d VPPANMP
20 a VPPANMP ἐποικοδομέω *to build up*
b VPPMNMP
21 a V2PAAM
b VPPMNMP προσδέχομαι *to receive*
c NANS ἔλεος *mercy*
22 a V2PPAM
b VPPMAMP διακρίνω *to make a distinction*
23 a V2PPAM
b VPPANMP ἁρπάζω *to catch*
c V2PPAM
d VPPANMP
e VPRPAMS σπιλόω *to corrupt*
f NAMS χιτών *tunic*
24 a VPPMDMS
b VNAA
c NAMP ἄπταιστος *without falling*
d VNAA
e κατενώπιον *in the sight of*
f NAMP ἄμωμος *unblemished*
g NDFS ἀγαλλίασις *delight*
25 a NDMS σωτήρ *Savior*

ἡμῶν⸃ ⸀δόξα μεγαλωσύνη[b] κράτος[c] καὶ ἐξουσία ⸀πρὸ παντὸς τοῦ αἰῶνος⸃ καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.

b NNFS μεγαλωσύνη *majesty*

c NNNS κράτος *power*